1. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πῦρ πεσεῖται ἀπὸ τοῦ οὐρανοῦ καὶ ὁ ἄγγελος τοῦ φωτὸς ἀπαγγελεῖ τὸν λόγον σαρκὶ πάσῃ.

2. γινώσκομεν ὅτι ἀποθανούμεθα, ἀλλ᾽ οὐ γινώσκομεν ὅπου ἐλευσόμεθα. ἡμεῖς γὰρ οὐκ ἐτηρήσαμεν τὰς ἐντολὰς τοῦ θεοῦ.

3. κρινεῖ ὁ θεὸς ἕκαστον ἡμῶν ἐν τῇ ἡμέρᾳ τῇ ἐσχάτῃ, ὀφείλομεν οὖν πολλάκις παρακαλεῖν ἀλλήλους.

4. ὑμεῖς μὲν προσκυνεῖτε δαιμονίοις, ἡμεῖς δὲ προσκυνοῦμεν τῷ θεῷ τῷ ποιήσαντι τὸ ὕδωρ καὶ τὴν γῆν καὶ πάντα ἐν αὐτοῖς.

5. ὁ σπείρων βαλεῖ τὸ σπέρμα ἐπὶ τὴν γῆν, ἀλλὰ δοκοῦμεν ὅτι ὁ πονηρὸς ἐλεύσεται καὶ ἀρεῖ αὐτό.

6. εὑρήσομεν ἐκεῖνον τὸν ἄνθρωπον καὶ κρινοῦμεν αὐτὸν κατὰ τὸν ἡμέτερον νόμον· αὐτὸς γὰρ ἔλαβε τὰ σὰ βιβλία καὶ ἔφυγεν.

7. ἐρεῖτε τοὺς ἐμοὺς λόγους τοῖς ὄχλοις καὶ ἀποστελεῖτε τοὺς ὑμετέρους

δούλους συναγαγεῖν τὰ τέκνα εἰς τὸ ἱερόν.

8. μενοῦμεν ἐν τῇ ἀληθείᾳ, ὁ θεὸς γὰρ ἀπέστειλεν τὸν ἅγιον προφήτην αὐτοῦ

ἀπαγγέλλοντα ταῦτα.

9. τὸ ἔργον ἑκάστου κριθήσεται ἐν πυρί, καὶ ὁ κύριος αὐτὸς ἐγερεῖ ἡμᾶς ζῆν ἐν

τῷ φωτὶ μετ᾽ ἀλλήλων.

10. βαλεῖτε τὸν ὑμέτερον ἄρτον ἐπὶ τὸ ὕδωρ καὶ προσκυνήσετε τῷ υἱῷ τῆς

δικαιοσύνης ἐν τούτῳ τῷ τόπῳ.

11. οἱ ἁμαρτωλοὶ ἐκεῖνοι δοκοῦσιν ὅτι τηροῦντες τὰς ἀνθρώπων ἐντολὰς

εὑρήσουσι χάριν μετὰ θεοῦ.

12. ἐν τῷ σῷ ὀνόματι, κύριε, ἐσπείραμεν σπέρματα τῆς εἰρήνης, ἀλλὰ μενεῖ τὸ

ἔργον τὸ ἡμέτερον;

13. ὁ κύριος ἀπέστειλεν τὴν ἐμὴν ἀδελφὴν ὅπου οὐκ ἤθελεν ἐλθεῖν, ἀλλ’ ἔμεινεν ἐκεῖ καὶ ἀπήγγειλεν τὸ πᾶν θέλημα τοῦ θεοῦ.

14. οἱ δοκοῦντες ἔχειν τὸ πῦρ τοῦ πνεύματος ἦραν τὰς χεῖρας καὶ προσηύξαντο τῷ θεῷ.

## *NT*

1. ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν

   μετ' ἀλλήλων (1 John 1:7)

2. δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; οὐχί, λέγω (Luke 12:51)

3. ἀπεκρίνατο λέγων . . . ὁ Ἰωάννης, Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· . . . αὐτὸς

   ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· (Luke 3:16)

4. μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. (John 15:9-10)

5. ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. (1 John 1:3)